# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΥΣ ΔΕΚΑΤΕΤΡΑΡΙΘΜΟΥΣ ΑΓΙΟΥΣ ΠΡΟΣΤΑΤΑΣ ΤΗΣ ΝΗΣΟΥ ΛΗΜΝΟΥ

Συντεθεὶς ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* 2004 *

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ



# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΥΣ ΔΕΚΑΤΕΤΡΑΡΙΘΜΟΥΣ ΑΓΙΟΥΣ ΠΡΟΣΤΑΤΑΣ ΤΗΣ ΝΗΣΟΥ ΛΗΜΝΟΥ

* * *

*Μετὰ τὸ Εὐλογητός, ἀναγινώσκομεν τὸν ψαλμὸν ΡΚΒ΄ (142).*

Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου.

Εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου, καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετα τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε· πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου· καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου, καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμι.

Εὐθὺς δέ, *Θεὸς Κύριος...καὶ τὸ τροπάριον*
*Ἦχος δ΄. Ὁ ὑψωθείς.*

Ὡς κεκτημένοι ἁγιότητος στέφος,
τὴν Λῆμνον σκέπετε εὐχαῖς ὑμῶν θείαις,
ὁμοῦ δεκατετράριθμοι πρεσβεύοντες Χριστῷ,
νόσους ἐκδιώκοντες,
καὶ κινδύνους παντοίους,
ἵνα εἰρηνεύοντες,
προσκυνῶμεν Τριάδα,
ἥτις ὑμᾶς ἐδόξασε τρανῶς,
καὶ παραδείσου,
μετόχους ἀνέδειξε.

*Δόξα, Καὶ νῦν, ὅμοιον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι,
εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐῤῥύσατο, ἐκ τοσούτων κινδύνων,
τίς δὲ διεφύλαξεν,
ἕως νῦν ἐλευθέρους;
οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ,
σοὺς γὰρ δούλους σῴζεις ἀεί,
ἐκ παντοίων δεινῶν.

*Εἶτα ὁ Ν΄ ψαλμός·*

Ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι· πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ Πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

**Εἶτα ψάλλεται ὁ κανών, οὗ ἡ ἀκροστιχίς:**

*“Δέξαι, Κύριε, παράκλησιν Ἁγίων Λήμνου. Ἀ(θανάσιος)”.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*᾿Ωιδὴ α΄. Ἦχος πλ.δ΄. Ὑγρὰν διοδεύσας.*

Δεήσεις προσάξατε τῷ Θεῷ,
οἱ Ἅγιοι Λήμνου,
ὑπὲρ πάντων τῶν εὐλαβῶς,
πρεσβείας ὑμῶν ἐξαιτουμένων,
καὶ προστασίαν ἐν νόσοις καὶ θλίψεσι.

᾿Ετέθης ὡς λύχνος χριστοειδής,
ἐν Λήμνου καθέδρᾳ,
ὦ Στρατήγιε ἱερέ,
διὸ τὸν Δεσπότην ἐξιλέου,
ὑπὲρ τῆς ποίμνης σου ταύτης ἀείποτε.

Ξεσθέν σου τὸ σῶμα τὸ καθαρόν,
σεμνὴ Γλυκερία,
ἐν βασάνοις διὰ Χριστόν,
ἐδόθη τῆς Λήμνου ᾿Εκκλησίᾳ,
καταφυγὴ ἐν δειναῖς περιστάσεσιν.

*Θεοτοκίον*

᾿Αφθόρως κυήσασα τὸν Χριστόν,
῾Αγνὴ Θεοτόκε,
διαφύλαττε τῆς φθορᾶς,
Λημνίους αἰτοῦντας σὴν πρεσβείαν,
καὶ τοῦ Κυρίου ναοὺς τούτους ποίησον.

*᾿Ωιδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

῾Ιερεῖον καθάπερ,
τῷ ᾿Ιησοῦ τέθυσαι,
ὦ πανευκλεὴς Εὐφημία,
τοῖς μαρτυρίοις σου·
ὅθεν τὸ σκῆνός σου,
δεξιωθεῖσα ἡ Λῆμνος,
πρὸς Χριστὸν ἐπλούτησε,
πρέσβιν σε ἄμαχον.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Κομισθὲν ἐν τῇ Λήμνῳ,
ὡς θησαυρὸς πάντιμος,
ὦ Μελιτηνὴ σκήνωμά σου,
πηγὰς ἀνέβλυσε,
θείων ἰάσεων,
τοῖς εὐλαβέσι Λημνίοις,
οὕς περ διαφύλαττε,
Χριστῷ πρσβεύουσα.

Ὑπὲρ θείων δογμάτων,
ἐξορισθεὶς Πόλεως,
τῆς Βασιλευούσης καὶ Λῆμνον,
πάτερ Θεόδωρε,
ποτὲ κατείληφας,
ἣν περιφρούρει κινδύνων,
πατρικαῖς πρεσβείαις σου,
πρὸς τὸν Φιλάνθρωπον.

*Θεοτοκίον*

Ῥᾶνον θείας ψεκάδας,
ἐν πειρασμοῖς, Δέσποινα,
καὶ τῶν θλιβερῶν τὴν πικρίαν,
τάχει διάλυσον,
καθικετεύουσα,
τὸν τοῦ ἐλέους Δεσπότην,
Ὃν ἡμῖν ἱλέωσαι,
τοῖς ἁμαρτάνουσι.

Διάσωσον,
δεκατετράριθμον στῖφος Ἁγίων Λήμνου,
τοὺς ἐν πίστει εἰλικρινεῖ σοι προσπίπτοντας,
ἀπὸ κινδύνου παντός,
ταῖς πρεσβείας σου πρὸς Δεσπότην.

Ἐπίβλεψον,
ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν,

καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.*

Προστάται θερμοί, Λημνίοις ἐχαρίσθητε,
καὶ τούτους ἀεί, φυλάττετε ἀείποτε,
ἐκ κινδύνων Ἅγιοι, τῷ Κυρίῳ πρεσβεύοντες,
ὅπως Παράδεισον γλυκύν, σὺν ὑμῖν κατοικήσωμεν.

*Ὠιδὴ δ'. Εἰσακήκοα, Κύριε.*

Ἵνα πόθῳ τιμῶμέν σε,
πάτερ Ἀθανάσιε, Ἄθω καύχημα,
χεῖρας ἔκτεινον πρὸς Κύριον,
ὑπὲρ χριστωνύμων Λήμνου πάντοτε.
Ἐπηρείας τοῦ δράκοντος,
καὶ τὰ ποικιλότροπα μηχανήματα,
τούτου, Σάββα, ἐξαφάνισον,
κατὰ τῶν Λημνίων ἐγειρόμενα.

Πρὸς Κυρίου ἀγάπησιν,
πάτερ Διονύσιε, ἡμᾶς ἴθυνον,
ἀφανίζων ἅπαν πρόσκομμα,
τοῦ ἀντικειμένου ὥσπερ ἄθυρμα.

*Θεοτοκίον*

Ἀναξίοις σε στόμασι,
πάντες, Θεοτόκε, οἱ χριστοσήμαντοι,
μεγαλύνομεν καὶ κράζομεν·
τῷ Θεῷ μὴ παύσῃ ἱκετεύουσα.

*Ὠιδὴ ε'. Φώτισον ἡμᾶς.*

Ῥῦσαι πονηροῦ,
τῶν παγίδων τοὺς τιμῶντάς σε,
ὦ Κωνσταντῖνε νεομάρτυς τοῦ Χριστοῦ,
καὶ ἐν τῇ πίστει,

ἀκλινεῖς ἡμᾶς στερέωσον.
Ἆρον ἀφ᾽ ἡμῶν,
᾽Αθανάσιε, πᾶν πρόσκομμα,
τὸ ἐμποδίζον τὴν ἐπίγνωσιν Θεοῦ,
καὶ τὴν Λῆμνον,
ἐν εἰρήνῃ διατήρησον.

Κύριον ἀεί,
ὦ Γρηγόριε, δυσώπησον,
ὑπὲρ τῆς Λήμνου ἣν ἐποίμανας,
καὶ ἐνέδρας,
παλαμναίου ἐχθροῦ σύντριψον.

*Θεοτοκίον*

Λεύκανον ψυχάς,
πισσωθείσας ἁμαρτήμασιν,
ταῖς ἱκεσίαις σου Πανάχραντε,
καὶ μετανοίᾳ,
ἀληθεῖ ἡμᾶς περίφραξον.

*᾽Ωιδὴ στ΄. Τὴν δέησιν ἐκχεῶ.*

῾Ημάρτομεν,
πολλαχῶς οἱ ἄθλιοι,
θεῖε Μᾶρκε ἱεράρχα ᾽Εφέσου,
διὸ πρὸς σέ,
καταφεύγομεν πίστει,
καὶ ὡς μεσίτην Χριστῷ προβαλλόμεθα,
αἰτοῦντες ἄφεσιν δεινῶν,
καὶ λαβεῖν κατὰ χάριν συγχώρησιν.

Συρόμεθα,
ὡς ἐχθροῦ αἰχμάλωτοι,
τῶν παθῶν ὑπεζευχθέντες τὴν ζεύγλην,
καὶ τῷ Θεῷ,
μὴ δυνάμενοι στῆναι,
δεόμεθά σου, παμμάκαρ Εὐθύμιε,

ὡς Λήμνῳ ὑπερορισθείς,
ἐλευθέρωσον τάχει τοὺς δούλους σου.

Ἱκέτευε,
Ἰωσὴφ πανάριστε,
ὑπὲρ νήσου σε τεκούσης Δεσπότην,
ὅπως ἀεί,
ἐν εἰρήνῃ ἀσείστῳ,
καὶ φιλοθέως τὸν βίον πορεύηται,
ἐν τέλει δὲ τοῦ οὐρανοῦ,
Βασιλείαν οἱ Λήμνιοι εὕρωσι.

*Θεοτοκίον*

Νενέκρωμαι,
ἐκ πολλῶν πταισμάτων μου,
Θεοτόκε Παναγία Παρθένε,
ὅθεν πρὸς σέ,
καταφεύγω τὴν ὄντως,
τὸν Ἀρχηγὸν τῆς ζωῆς ἀποτέξασαν,
αἰτούμενος τὴν ἰσχυράν,
προστασίαν σου, Μῆτερ Πανάχραντε.

Διάσωσον,
δεκατετράριθμον στῖφος Ἁγίων Λήμνου,
τοὺς ἐν πίστει εἰλικρινεῖ σοι προσπίπτοντας,
ἀπὸ κινδύνου παντός,
ταῖς πρεσβείας σου πρὸς Δεσπότην.

Ἄχραντε,
ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως,
ἐπ᾿ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον,
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Προστασία τῶν χριστιανῶν.*

Ἐκ πολλῶν συνεχόμενοι θλίψεων
καὶ τοῦ βίου δεινοῖς πιεζόμενοι



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

πρὸς τὰς εὐχὰς προσφεύγομεν ὑμῶν,
θερμῶς, λύσιν τῶν κακῶν,
καὶ εὐλογίαν τοῦ Θεοῦ,
ἐξαιτούμενοι, Ἅγιοι·
ὅθεν ὡς παῤῥησίαν,
ἔχοντες πρὸς Δεσπότην,
σκέπετε Λῆμνον εὐσεβῆ,
τὴν ὑμᾶς τιμῶσαν πάντοτε.

Προκείμενον· Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.
Στίχος· *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

**ΕΥΑΓΓΕΛΙΟΝ**

*Ἐκ τοῦ κατὰ Ματθαῖον (ε΄14 - 19)*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. Οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη. Οὐδὲ καίουσι λύχνον καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ᾽ ἐπὶ τὴν λυχνίαν καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ. Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. Μὴ νομίσητε, ὅτι ἦλθον καταλῦσαι τὸν Νόμον ἢ τοὺς Προφήτας. Οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι. Ἀμὴν γὰρ λέγω ὑμῖν, ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ Νόμου, ἕως ἂν πάντα γένηται. Ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων καὶ διδάξῃ οὕτω τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ Βασιλείᾳ τῶν οὐρανῶν. Ὃς δ᾽ ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ Βασιλείᾳ τῶν οὐρανῶν.

*Δόξα.*

Ταῖς τῶν σῶν Ἁγίων,
πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη,
τῶν ἐμῶν ἐγκλημάτων.

*Καὶ νῦν.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ταῖς τῆς Θεοτόκου,
πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη,
τῶν ἐμῶν ἐγκλημάτων.

*Στίχ. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*
*καὶ τὸ προσόμοιον.*
*Ἦχος πλ.β΄. Ὅλην ἀποθέμενοι.*

Μέγα διαπλέοντες,
πέλαγος βίου παρόντος,
καὶ κλυδωνιζόμενοι,
τοῖς ἀγρίοις κύμασιν ὡς ἀνίσχυροι,
τὴν ὑμῶν, Ἅγιοι,
ἀρωγὴν αἰτοῦμεν,
τὸν λιμένα ὅπως φθάσωμεν,
τῆς ἄνω Πόλεως,
σῷοι πειρασμῶν τοῦ ἀλάστορος·
καὶ εὕρωμεν κατάπαυσιν,
τὴν εἰρηνικὴν καὶ χριστόδωρον,
καὶ ἀνευφημῶμεν,
ὑμᾶς, τῆς Λήμνου θεῖοι πρεσβευταί,
ἣν προστατεύετε πάντοτε,
ἀπὸ πάσης θλίψεως.

*Σῶσον ὁ Θεὸς τὸν λαόν σου κλπ.*

*Ὠιδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ἀληθὴς ποιμενάρχης,
νήσου Λήμνου, Στρατήγιε, ἀναδέδειξαι,
τὸν τοῦ Εὐαγγελίου,
διδάξας θεῖον νόμον,
ὃν τηρεῖν τὴν σὴν ποίμνην ἱκέτευε,
ὅπως τὸ ὄρος Κυρίου,
κληρονομήσωμεν.

Γρηγορίου πρεσβείας,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Παλαμᾶ τοῦ μεγάλου δέξαι, Φιλάνθρωπε,
ποιμάναντος τὴν Λῆμνον,
καὶ πληθὺν θαυμάτων,
ἐπιτελέσαντος ὧδε δυνάμει σου,
νῦν δὲ τὰς χεῖρας ἀπαύστως,
ὑπερεκτείνοντος.

Ἰωσήφ, σὴν πατρίδα,
τῶν εὐχῶν τῇ ἀσπίδι ἀεὶ προστάτευε,
ἐκ πάσης ἀσθενείας,
καὶ ἐχθροῦ ἐφόδων,
ἀποδιδοὺς ἀντιδώρως τὰ θρέπτρα σου,
τὸν Ἰησοῦν ἐκμειλίσσων,
τὸν Πολυεύσπλαγχνον.

*Θεοτοκίον*

Ὡς Δεσπότην τεκοῦσα,
καὶ πλουτοῦσα πρεσβείαν ἀκαταμάχητον,
ἱκέτευε Παρθένε,
ὅπως λυτρωθῶμεν,
τοῦ πονηροῦ τῶν παγίδων οἱ δοῦλοί σου,
καὶ εὐγνωμόνως τιμῶμεν,
τὴν θείαν δόξαν σου.

*Ὠιδὴ η΄. Τὸν Βασιλέα.*

Νίκην παράσχου,
κατὰ παθῶν ψυχοφθόρων,
ὦ Εὐθύμιε θεῖε ἱεράρχα,
πᾶσι τοῖς Λημνίοις,
τιμῶσί σε ἐκ πόθου.

Λέοντος μύλας,
Ὀρθοδοξίας ὁ λέων,
πάτερ Μᾶρκε, τοῦ νοητοῦ συντρίψαις,
κατὰ τῶν Λημνίων,
πικρῶς ὀρυωμένου.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἣν ἐπεσκέψω,
σωματικῶς πάλαι Λῆμνον,
Ἀθανάσιε, καὶ νῦν ἐπισκέπτου,
τῷ Χριστῷ πρεσβεύων,
ἀπαύστως ὑπὲρ ταύτης.

*Θεοτοκίον*

Μεμολυσμένους,
ταῖς ἁμαρτίαις Παρθένε,
ἀποκάθαρον θείᾳ μετανοίᾳ,
ὅπως τοῦ Υἱοῦ σου,
τύχωμεν Βασιλείας.

*Ὠιδὴ θ΄. Κυρίως Θεοτόκον.*

Νεομαρτύρων δέξαι,
τῆς σεπτῆς δυάδος,
τὰς ἱκεσίας, Φιλάνθρωπε Δέσποτα,
ὑπὲρ τῆς Λήμνου καὶ δίδου,
ταύτῃ πᾶν δώρημα.

Ὁ Πνεύματος τὴν χάριν,
δοὺς πλουσιοδώρως,
τῇ τῶν Παρθένων τριάδι, Φιλάνθρωπε,
καὶ τοῖς Λημνίοις παράσχου,
τὴν εὐλογίαν σου.

Ὑπὲρ τῆς νήσου Λήμνου,
τοῦ χοροῦ Ὁσίων,
σεπτὰς δεήσεις ἐπάκουσον, Κύριε,
καὶ ἐν εἰρήνῃ ἀσείστῳ,
ταύτην συντήρησον.

*Θεοτοκίον*

Ἀξίωσον, Παρθένε,
τοὺς σὲ ἀνυμνοῦντας,

ἰδεῖν Κυρίου τὸ πάμφωτον Πρόσωπον,
καὶ Παραδείσου οἰκῆσαι,
θεῖα σκηνώματα.

Ἄξιόν ἐστι... καὶ τὰ
*Μεγαλυνάρια*

Ὁ δεκατετράστερος οὐρανός,
τῶν Ἁγίων Λήμνου,
καταφώτισον τὰς ψυχάς,
τῶν πιστῶς ὑμνούντων,
βίους σεπτοὺς καὶ ἆθλα,
καὶ πέμπε οὐρανόθεν
χάριν τοῦ Πνεύματος.

Δέξαι, ὦ Φιλάνθρωπε Ἰησοῦ,
τῶν Ἁγίων Λήμνου,
παρακλήσεις ὑπὲρ ἡμῶν,
καὶ παράσχου πᾶσιν,
ὑγείαν καὶ εἰρήνην,
ὅπως πιστῶς ὑμνῶμεν,
τὴν σὴν θεότητα.

Τῆς ζωῆς τὸ ξύλον δότε ἡμῖν,
Ἅγιοι τῆς Λήμνου,
καὶ αἰώνιον χαρμονήν,
μέλλοντος αἰῶνος,
οὗ νῦν ὑμεῖς τρυφᾶτε,
ὁρῶντες τοῦ Κυρίου,
τὸ θεῖον πρόσωπον.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου,
ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

*Τρισάγιον κλπ.*



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Εἰς τὴν ἀπόλυσιν. Στιχηρὸν προσόμοιον.*
*Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε.*

Δεῦτε, τῶν Λημνίων οἱ χοροί,
τοὺς ἡμῶν ἐνθέους προστάτας καὶ ἀντιλήπτορας,
πόθῳ εὐφημήσωμεν καὶ εὐλαβῶς τὰς εὐχάς,
αἰτησώμεθα ἅπαντες, ὅπως λυτρωθέντες,
πειρασμῶν καὶ θλίψεων καὶ τῶν τοῦ βίου δεινῶν,
δῶμεν τῷ Κυρίῳ τὴν δόξαν, τῷ αὐτοὺς ἀξίως τῷ στέφει,
τῆς ἀθανασίας καταστέψαντι.
Δέσποινα, πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου,
καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

*Δι᾽ εὐχῶν.*

*Στίχοι*
*Λιμένα δότε χριστωνύμοις Λημνίοις,*
*Οἱ ἐν Λήμνῳ ἅγιοι, Σιὼν τῆς ἄνω.*



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ